## Week 11 Proclus, *On the Sacred Art*; PGM IV.475-829; XIII 1-343

Proclus, *On the Sacred Art*

(148.) *Πρόκλου περὶ τῆς καθ' Ἕλληνας ἱερατικῆς τέχνης.*

*Ὥσπερ οἱ ἐρωτικοὶ ἀπὸ τῶν ἐν αἰσθήσει καλῶν ὁδῷ προϊόντες ἐπ' αὐτὴν καταντῶσι τὴν μίαν τῶν καλῶν πάντων καὶ νοητῶν ἀρχήν, οὕτως καὶ οἱ ἱερατικοὶ ἀπὸ τῆς ἐν τοῖς φαινομένοις ἅπασι συμπαθείας πρός τε ἄλληλα καὶ πρὸς τὰς ἀφανεῖς δυνάμεις, πάντα ἐν πᾶσι κατανοήσαντες, τὴν ἐπιστήμην τὴν ἱερατικὴν συνεστήσαντο, θαυμάσαντες τῷ βλέπειν ἔν τε τοῖς πρώτοις τὰ ἔσχατα καὶ ἐν τοῖς ἐσχάτοις τὰ πρώτιστα, ἐν οὐρανῷ μὲν τὰ χθόνια κατ' αἰτίαν καὶ οὐρανίως, ἔν τε γῇ τὰ οὐράνια γηΐνως. Ἢ πόθεν ἡλιοτρόπια μὲν ἡλίῳ, σεληνοτρόπια δὲ σελήνῃ συγκινεῖται συμπεριπολοῦντα ἐς δύναμιν τοῖς τοῦ κόσμου φωστῆρσιν; Εὔχεται γὰρ πάντα κατὰ τὴν οἰκείαν τάξιν καὶ ὑμνεῖ τοὺς ἡγεμόνας τῶν σειρῶν ὅλων ἢ νοερῶς ἢ λογικῶς ἢ φυσικῶς ἢ αἰσθητῶς· ἐπεὶ καὶ τὸ ἡλιοτρόπιον ᾧ ἔστιν εὔλυτον, τούτῳ κινεῖται καί, εἰ δή τις αὐτοῦ κατὰ τὴν περιστροφὴν ἀκούειν τὸν ἀέρα πλήσσοντος οἷός τε ἦν, ὕμνον ἄν τινα διὰ τοῦ ἤχου τούτου συνῄσθετο τῷ Βασιλεῖ προσάγοντος, ὃν δύναται φυτὸν ὑμνεῖν.*

*Ἐν μὲν οὖν τῇ γῇ χθονίως ἐστὶν ἡλίους καὶ σελήνας ὁρᾶν, ἐν οὐρανῷ δὲ οὐρανίως τά τε φυτὰ πάντα καὶ λίθους καὶ ζῷα, ζῶντα νοερῶς. Ἃ δὴ κατιδόντες οἱ πάλαι σοφοί, τὰ μὲν ἄλλοις, τὰ δὲ ἄλλοις προσάγοντες τῶν οὐρανίων, ἐπήγοντο θείας δυνάμεις εἰς τὸν θνητὸν τόπον καὶ διὰ τῆς ὁμοιότητος ἐφειλκύσαντο· ἱκανὴ γὰρ ἡ* (149.) *ὁμοιότης συνάπτειν τὰ ὄντα ἀλλήλοις· ἐπεὶ καί, εἴ τις θρυαλλίδα προθερμήνας ὑπόσχοι τῷ λυχναίῳ φωτὶ μὴ πόρρω τοῦ πυρός, ἴδοι ἂν αὐτὴν ἐξαπτομένην μὴ ψαύουσαν τοῦ πυρός, καὶ τὴν ἔξαψιν ἄνωθεν τοῦ κατωτέρω γινομένην. Ἀναλόγως οὖν ἡ μὲν προθέρμανσις νοείσθω σοι τῇ συμπαθείᾳ τῶν τῆδε πρὸς ἐκεῖνα, ἡ δὲ προσαγωγὴ καὶ ἐν καλῷ θέσις τῇ τῆς ἱερατικῆς τέχνης κατά τε καιρὸν τὸν πρέποντα καὶ τρόπον τὸν οἰκεῖον προσχρήσει τῶν ὑλῶν, ἡ δὲ τοῦ πυρὸς διάδοσις τῇ παρουσίᾳ τοῦ θείου φωτὸς εἰς τὸ δυνάμενον μετέχειν, ἡ δὲ ἔξαψις τῇ θειώσει τῶν θνητῶν καὶ τῇ περιλάμψει τῶν ἐνύλων, ἃ δὴ κινεῖται πρὸς τὸ ἄνω λοιπὸν κατὰ τὸ μετασχεθὲν ὑπ' αὐτῶν σπέρμα θεῖον, ὥσπερ τὸ τῆς ἐξαφθείσης θρυαλλίδος φῶς.*

*Καὶ ὁ λωτὸς δὲ παρίστησι τὴν συμπάθειαν, μεμυκὼς μὲν πρὸ τῶν ἡλιακῶν αὐγῶν, διαπτυσσόμενος δέ πως ἠρέμα τοῦ ἡλίου πρῶτον φανέντος, καὶ ὅσον ὑψοῦται τὸ φῶς, ἐξαπλούμενος, καὶ αὖθις συναγόμενος, ἐπὶ δύσιν ἰόντος. Τί δὴ οὖν διαφέρει τοὺς ἀνθρώπους αἴροντας ἢ τιθέντας <τὰς> γένυς ἢ τὰ χείλη ὑμνεῖν τὸν ἥλιον, ἢ τὸν λωτὸν τὰ φύλλα συμπτύσσοντα καὶ ἀναπλοῦντα; Γίγνεται γὰρ ἀντὶ τῶν γενύων ταῦτα τῷ λωτῷ, καὶ ὁ ὕμνος φυσικός. Καὶ τί δεῖ λέγειν περὶ φυτῶν οἷς ὑπάρχει ζωῆς ἴχνος τι γεννητικῆς; Ἀλλὰ καὶ λίθους ἔστιν ἰδεῖν ταῖς τῶν φωστήρων ἀπορροίαις ἐμπνέοντας, ὡς τὸν μὲν ἡλίτην ταῖς χρυσοειδέσιν ἀκτῖσιν ὁρῶμεν τὰς ἡλιακὰς ἀκτῖνας μιμούμενον, τὸν δὲ Βήλου προσαγορευόμενον ὀφθαλμὸν καὶ σχῆμα παραπλήσιον ἔχοντα κόραις ὀφθαλμῶν καὶ ἐκ μέσης τῆς ἐν αὐτῷ κόρης στιλπνὸν ἀφιέντα φῶς, ὅν φασιν ἡλίου χρῆναι καλεῖν ὀφθαλμόν, τὸν δὲ σεληνίτην τύπῳ τε καὶ κινήσει σὺν τῇ σελήνῃ τρεπόμενον, τὸν δὲ ἡλιοσέληνον τῆς συνόδου τῶν φωστήρων τούτων οἷον ἄγαλμα ταῖς κατ' οὐρανὸν συνόδοις τε καὶ διαστάσεσιν ἀφομοιωθέν. Οὕτω μεστὰ πάντα θεῶν, τὰ μὲν ἐν γῇ τῶν οὐρανίων, τὰ δὲ ἐν οὐρανῷ τῶν ὑπὲρ τὸν οὐρανόν, καὶ πρόεισιν ἑκάστη πληθυομένη* (150.) *σειρὰ μέχρι τῶν ἐσχάτων· τὰ γὰρ ἐν ἑνὶ πρὸ τῶν πάντων, ταῦτα ἐν πᾶσιν ἐξεφάνη, ἐν οἷς καὶ ψυχῶν συστάσεις ἄλλων ὑπ' ἄλλοις*

*ταττομένων θεοῖς, ἔπειτα ζῴων ἡλιακῶν εἰ τύχοι πλῆθος, οἷον λέοντες καὶ ἀλεκτρυόνες, μετέχοντες καὶ αὐτοὶ τοῦ θείου κατὰ τὴν ἑαυτῶν τάξιν. Καὶ τὸ θαυμαστὸν ὅπως ἐν τούτοις τὰ ἐλάττονα δυνάμει τε καὶ μεγέθει τοῖς κατ᾽ ἄμφω κρείττοσίν ἐστι φοβερά· ὑποστέλλεται γὰρ ὁ λέων, φασί, τὸν ἀλεκτρυόνα. Τὸ δὲ αἴτιον ἀπὸ μὲν τῆς αἰσθήσεως οὐκ ἔστι λαβεῖν, ἀπὸ δὲ τῆς νοερᾶς ἐπιβλέψεως καὶ τῆς ἐν τοῖς αἰτίοις διαφορᾶς. Ἐνεργεστέρα γοῦν ἐστιν ἡ τῶν ἡλιακῶν συμβόλων εἰς τὸν ἀλεκτρυόνα παρουσία· δηλοῖ δὲ τῶν ἡλιακῶν περιόδων συναισθανόμενος καὶ ᾄδων ὕμνον τῷ φωστῆρι προσιόντι τε καὶ ἐπὶ τὰ λοιπὰ κέντρα τρεπομένῳ· διὸ καὶ ἄγγελοί τινες ἡλιακοὶ ὤφθησαν τοιαύτας ἔχοντες μορφάς, καὶ ὄντες ἀμόρφωτοι, φαίνονται τοῖς ἐν μορφῇ κατεχομένοις ἡμῖν μεμορφωμένοι. Ἤδη δέ τινα τῶν ἡλιακῶν δαιμόνων λεοντοπρόσωπον φαινόμενον, ἀλεκτρυόνος δειχθέντος, ἀφανῆ γενέσθαι φασὶν ὑποστελλόμενον τὰ τῶν κρειττόνων συνθήματα· ἐπεὶ καὶ θείων ἀνδρῶν εἰκόνας ὁρῶντες πολλοὶ ἀνεστάλησαν ὑπ᾽ αὐταῖς τι τῶν μιαρῶν ἐνεργεῖν.*

*Ἁπλῶς δὲ τὰ μὲν ταῖς περιόδοις τοῦ φωστῆρος συγκινεῖται, ὡς τὰ εἰρημένα φυτά, τὰ δὲ τὸ σχῆμα μιμεῖται τῶν ἀκτίνων, ὥσπερ ὁ φοῖνιξ, τὰ δὲ τὴν ἐμπύριον οὐσίαν, ὥσπερ ἡ δάφνη, τὰ δὲ ἄλλο τι. Ἴδοις ἂν οὖν τὰς συνεσπειραμένας ἰδιότητας ἐν ἡλίῳ μεριζομένας ἐν τοῖς μετέχουσιν ἀγγέλοις, δαίμοσι, ψυχαῖς, ζῴοις, φυτοῖς, λίθοις. Ὅθεν οἱ τῆς ἱερατικῆς ἡγεμόνες ἀπὸ τῶν ἐν ὀφθαλμοῖς κειμένων τὴν τῶν ἀνωτέρω δυνάμεων θεραπείαν εὑρήκασι, τὰ μὲν μίξαντες, τὰ δὲ οἰκείως ἀναιρούμενοι· ἡ δὲ μῖξις διὰ τὸ βλέπειν τῶν ἀμίκτων ἕκαστόν τινα ἔχον ἰδιότητα τοῦ θεοῦ, οὐ μὴν ἐξαρκοῦν πρὸς τὴν ἐκείνου πρόκλησιν· διὸ τῇ μίξει τῶν πολλῶν ἑνίζουσι τὰς προειρημένας ἀπορροίας καὶ ἐξομοιοῦσι τὸ ἐκ πάντων ἓν γενόμενον πρὸς ἐκεῖνο τὸ πρὸ τῶν πάντων ὅλον· καὶ ἀγάλματα πολλάκις κατασκευάζουσι*

(151.)

*σύμμικτα καὶ θυμιάματα, φυράσαντες εἰς ἓν τὰ μερισθέντα συνθήματα καὶ ποιήσαντες τέχνῃ ὁποῖον κατ᾽ οὐσίαν τὸ θεῖον περιληπτικὸν καθ᾽ ἕνωσιν τῶν πλειόνων δυνάμεων, ὧν ὁ μὲν μερισμὸς ἠμύδρωσεν ἑκάστην, ἡ δὲ μῖξις ἐπανήγαγεν εἰς τὴν τοῦ παραδείγματος ἰδέαν. Ἔστι δὲ ὅτε καὶ μία πόα καὶ λίθος εἷς ἀρκεῖ πρὸς τὸ ἔργον· ἀπόχρη γὰρ πρὸς μὲν αὐτοφάνειαν τὸ κνέωρον, πρὸς δὲ φυλακὴν δάφνη, ῥάμνος, σκύλλα, κουράλιον, ἀδάμας καὶ ἴασπις, πρὸς δὲ πρόγνωσιν ἡ τοῦ ἀσπάλακος καρδία, πρὸς δὲ καθάρσεις τὸ θεῖον καὶ τὸ θαλάττιον ὕδωρ.*

*Διὰ μὲν οὖν τῆς συμπαθείας προσήγοντο, διὰ δὲ τῆς ἀντιπαθείας ἀπήλαυνον, καθαίροντες εἰ τύχοι θείῳ καὶ ἀσφάλτῳ καὶ περιρραίνοντες θαλάττῃ· καθαίρει γὰρ τὸ μὲν θεῖον διὰ τὸ δριμὺ τῆς ὀσμῆς, ἡ δὲ θάλαττα διὰ τὸ μετέχειν ἐμπυρίου δυνάμεως.*

*Καὶ ἐν ταῖς τελεταῖς δὲ καὶ ταῖς ἄλλαις περὶ τοὺς θεοὺς θεραπείαις ζῷά τε προσήκοντα ἐξελέγοντο καὶ ἕτερ᾽ ἄττα. Ἀπὸ δὴ τούτων καὶ τῶν τοιούτων ὁρμηθέντες, τὰς δαιμονίους δυνάμεις ἔγνωσαν, ὡς προσεχεῖς εἰσιν οὐσίαι τῆς ἐν τῇ φύσει καὶ τοῖς σώμασιν ἐνεργείας, καὶ ἐπηγάγοντο δι᾽ αὐτῶν τούτων εἰς συνουσίαν· ἀπὸ δὲ τούτων ἐπ᾽ αὐτὰς ἤδη τὰς τῶν θεῶν ἀνέδραμον ποιήσεις, τὰ μὲν ἀπ᾽ αὐτῶν διδασκόμενοι, τὰ δὲ καὶ αὐτοὶ κινούμενοι παρ᾽ ἑαυτῶν εὐστόχως εἰς τὴν τῶν οἰκείων συμβόλων ἐπίνοιαν· καὶ οὕτω λοιπόν, τὴν φύσιν καὶ τὰς φυσικὰς ἐνεργείας κάτω καταλιπόντες, ταῖς πρωτουργοῖς καὶ θείαις ἐχρήσαντο δυνάμεσι.*

## PGM IV.475-829

*Ἵλαθί μοι, Πρόνοια καὶ Ψυχή, τάδε γράφοντι τὰ <ἄ>πρατα, παραδοτὰ μυστήρια, μόνῳ δὲ τέκνῳ ἀθανασίαν ἀξιῶ, μύσται τῆς ἡμετέρας δυνάμεως ταύτης (χρὴ οὖν σε, ὦ θύγατερ, λαμβάνειν χυλοὺς βοτανῶν καὶ εἰδῶν τῶν μ[ελ]λόντων σοι <μηνυθήσεσθαι> ἐν τῷ τέλει τοῦ ἱεροῦ μου συντάγματος), ἣν ὁ μέγας θεὸς Ἥλιος Μίθρας ἐκέλευσέν μοι μεταδοθῆναι ὑπὸ τοῦ ἀρχαγγέλου αὐτοῦ, ὅπως ἐγὼ μόνος αἰ<τ>ητὴς οὐρανὸν βαίνω καὶ κατοπτεύω πάντα. ἔστιν δὲ τοῦ λόγου ἥδε ἡ κλῆσις·*

*‘[Γ]ένεσις πρώτη τῆς ἐμῆς γενέσεως· αεηιουω, ἀρχὴ τῆς ἐμῆς ἀρχῆ<ς> πρώτη π̣π̣π̣ σ̣σ̣σ̣ φ̣ρ̣[·], πνεῦμα πνεύματος, τοῦ ἐν ἐμοὶ πνεύματος πρῶτον μ̣μ̣μ̣, πῦρ, τὸ εἰς ἐμὴν κρᾶσιν τῶν ἐν ἐμοὶ κράσεων θεοδώρητον, τοῦ ἐν ἐμοὶ πυρὸς πρῶτον ην ηια εη, ὕδωρ ὕδατος, τοῦ ἐν ἐμοὶ ὕδατος πρῶτον ωωω ααα εεε, οὐσία γεώδης τῆς ἐν ἐμοὶ οὐσίας γεώδους πρώτη υη υωη, σῶμα τέλειον ἐμοῦ τοῦ δεῖνα τῆς δεῖνα, διαπεπλασμένον ὑπὸ βραχίονος ἐντίμου καὶ δεξιᾶς χειρὸς ἀφθάρτου ἐν ἀφωτίστῳ καὶ διαυγεῖ κόσμῳ, ἔν τε ἀψύχῳ καὶ ἐψυχωμένῳ υηι αυι ευωιε. ἐὰν δὲ ὑμῖν δόξῃ μετερτα φωθ· (μεθαρθα φηριη ἐν ἄλλῳ) ϊερεζαθ μεταπαραδῶναί με τῇ ἀθανάτῳ γενέσει, ἐχομένως τῇ ὑποκειμένῃ μου φύσει· ἵνα μετὰ τὴν ἐνεστῶσαν καὶ σφόδρα κατεπείγουσάν με χρείαν ἐποπτεύσω τὴν ἀθάνατον ἀρχὴν τῷ ἀθανάτῳ πνεύματι ανχρεφρενεσουφιριγχ· τῷ ἀθανάτῳ ὕδατι ερονουϊ παρακουνηθ, τῷ στερεωτάτῳ ἀέρι εϊοαη ψεναβωθ, ἵνα νοήματι μεταγεν<ν>ηθῶ κραοχραξ ρ οϊμ εναρχομαι, καὶ πνεύσῃ ἐν ἐμοὶ τὸ ἱερὸν πνεῦμα νεχθεν αποτου νεχθιν αρπι ηθ, ἵνα θαυμάσω τὸ ἱερὸν πῦρ κυφε, ἵνα θεάσωμαι τὸ ἄβυσσον τῆς ἀνατολῆς φρικτὸν ὕδωρ νυω θεσω εχω ουχιεχωα, καὶ ἀκούσῃ μου ὁ ζωογόνος καὶ περικεχυμένος αἰθήρ αρνομηθφ, ἐπεὶ μέλλω κατοπτεύειν σήμερον τοῖς ἀθανάτοις ὄμμασι, θνητὸς γεννηθεὶς ἐκ θνητῆς ὑστέρας, βεβελτιωμένος ὑπὸ κράτους μεγαλοδυνάμου καὶ δεξιᾶς χειρὸς ἀφθάρτου, ἀθανάτῳ πνεύματι τὸν ἀθάνατον Αἰῶνα καὶ δεσπότην τῶν πυρίνων διαδημάτων, ἁγίοις ἁγιασθεὶς ἁγιάσμασι, ἁγίας ὑφεστώσης μου πρὸς ὀλίγον τῆς ἀνθρωπίνης μου ψυχικῆς δυνάμεως, ἣν ἐγὼ πάλιν μεταπαραλήμψομαι μετὰ τὴν ἐνεστῶσαν καὶ κατεπείγουσάν με πικρὰν ἀνάγκην ἀχρεοκόπητον, ἐγὼ ὁ δεῖνα, ὃν ἡ δεῖνα, κατὰ δόγμα θεοῦ ἀμετάθετον ευη υϊα εηι αω εϊαυ ϊυα ϊεω. ἐπεὶ οὐκ ἔστιν μοι ἐφικτὸν θνη-*

*τὸν γεγῶτα συνα<ν>ιέναι ταῖς χρυσοειδέσιν μαρμαρυγαῖς τῆς ἀθανάτου λαμπηδόνος ωην αεω ηυα εωη υαε ωιαε, ἔσταθι, φθαρτὴ βροτῶν φύσι, καὶ αὐτίκα <ἀνάλαβέ> με ὑγιῆ μετὰ τὴν ἀπαραίτητον καὶ κατεπε[ί]γουσαν χρείαν. ἐγὼ γάρ εἰμι ὁ υἱὸς ψυχω[ν] δεμου προχω πρωα, ἐγώ εἰμι μαχαρφ[.]ν μου πρωψυχων πρωε.' ἕλκε ἀπὸ τῶν ἀκτίνων πνεῦμα γ' ἀνασπῶν, ὃ δύνα[σ]αι, καὶ ὄψῃ σεαυτὸν ἀνακουφιζόμενον [κ]αὶ ὑπερβαίνοντα εἰς ὕψος, ὥστε σε δοκεῖ[ν μ]έσον τοῦ ἀέρος εἶναι. οὐδενὸς δὲ ἀκούσει [ο]ὔτε ἀνθρώπου οὔτε ζῴου ἄλλ<ου>, οὐδὲ ὄψῃ οὐδὲν τῶν ἐπὶ γῆς θνητῶν ἐν ἐκείνῃ τῇ ὥρᾳ, πάντα δὲ ὄψῃ ἀθάνατα· ὄψῃ γὰρ ἐκείνης τῆς ἡμέρας καὶ τῆς ὥρας θείαν θέσιν, τοὺς πολεύοντας ἀναβαίνοντας εἰς οὐρανὸν θεούς, ἄλλους δὲ καταβαίνοντας. ἡ δὲ πορεία τῶν ὁρωμένων θεῶν διὰ τοῦ δίσκου, πατρός μου, θεοῦ, φανήσεται, ὁμοίως δὲ καὶ ὁ καλούμενος αὐλός, ἡ ἀρχὴ τοῦ λειτουργοῦντος ἀνέμου· ὄψῃ γὰρ ἀπὸ τοῦ δίσκου ὡς αὐλὸν κρεμάμενον. εἰς δὲ τὰ μέρη τὰ πρὸς λίβα ἀπέραντον οἷον ἀπηλιώτην, ἐὰν ᾖ κεκληρωμένος εἰς τὰ μέρη τοῦ ἀπηλιώτου, καὶ ὁ ἕτερος ὁμοίως εἰς τὰ μέρη τὰ ἐκείνου, ὄψῃ τὴν ἀποφορὰν τοῦ ὁράματος· ὄψῃ δὲ ἀτενίζοντάς σοι τοὺς θεοὺς καὶ ἐπί σε ὁρμωμένους. σὺ δὲ εὐθέως ἐπίθες δεξιὸν δάκτυλον ἐπὶ τὸ στόμα καὶ λέγε· 'σιγή, σιγή, σιγή, σύμβολον θεοῦ ζῶντος ἀφθάρτου· φύλαξόν με, σιγή νεχθειρ θανμελου', ἔπειτα σύρισον μακρὸν συριγμόν, ἔπειτα πόππυσον λέγων· 'προπροφεγγῆ μοριος προφυρ προφεγγῆ νεμεθιρε αρψεντεν πιτητμι μεων εναρθ φυρκεχω ψυριδαριω τυρη φιλβα' καὶ τότε ὄψῃ τοὺς θεούς σοι εὐμενῶς ἐμβλέποντας καὶ μηκέτι ἐπί σε ὁρμωμένους, ἀλλὰ πορευομένους ἐπὶ τὴν ἰδίαν τάξιν τῶν πραγμάτων. ὅταν οὖν ἴδῃς τὸν ἄνω κόσμον καθαρὸν καὶ δονούμενον καὶ μηδένα τῶν θεῶν ἢ ἀγγέλων ὁρ<μ>ώμενον, προσδόκα βροντῆς μεγάλης ἀκούσεσθαι κτύπον, ὥστε σε ἐκπλαγῆναι. σὺ δὲ πάλιν λέγε· 'σιγή, σιγή (λόγος), ἐγώ εἰμι σύμπλανος ὑμῖν ἀστήρ, καὶ ἐκ τοῦ βάθους ἀναλάμπων οξυ ο ξερθευθ.' ταῦτά σου εἰπόντος εὐθέως ὁ δίσκος ἁπλωθήσεται. μετὰ δὲ τὸ εἰπεῖν σε τὸν β' λόγον, ὅπου 'σιγή, σιγή' καὶ τὰ ἀκόλουθα, σύρισον β' καὶ πόππυσον β', καὶ εὐθέως ὄψῃ ἀπὸ τοῦ δίσκου ἀστέρας προσερχομένους πενταδακτυλιαίους πλείστους καὶ πιπλῶντας ὅλον τὸν ἀέρα. σὺ δὲ πάλιν λέγε· 'σιγή, σιγή.' καὶ τοῦ δίσκου ἀνυγέντος ὄψῃ ἄπυρον*

*κύκλωμα καὶ θύρας πυρίνας ἀποκεκλεισμένας. σὺ δὲ εὐθέως δίωκε τὸν ὑποκείμενον λόγον καμμύων σου τοὺς ὀφθαλμούς. λόγος γʹ· ‘ἐπάκουσόν μου, ἄκουσόν μου τοῦ δεῖνα τῆς δεῖνα, κύριε, ὁ συνδήσας πνεύματι τὰ πύρινα κλῆθρα τοῦ τετραλιζώματος, πυρίπολε, πεντιτερουνι, φωτὸς κτίστα (οἱ δὲ· συνκλεῖστα) Σεμεσιλαμ, πυρίπνοε ψυρινφευ, πυρίθυμε Ἰάω, πνευματόφως ωαϊ, πυριχαρῆ ἔλουρε, καλλίφως αζαϊ, Αἰών αχβα, φωτοκράτωρ πεππερ πρεπεμπιπι, πυρισώματε φνουηνιοχ, φωτοδῶτα, πυρισπόρε αρει εϊκιτα, πυρικλόνε γαλλαβαλβα, φωτοβίαιε αιω, πυριδῖνα πυριχι βοοσηια, φωτοκινῆτα σανχερωβ, κεραυνοκλόνε ιη ωη ιωηιω, φωτὸς κλέος βεεγένητε, αὐξησίφως σουσινεφιεν, πυρισχησίφως σουσϊνεφι αρενβαραζει μαρμαρεντευ ἀστροδάμα· ἄνοιξόν μοι, προπροφεγγή, εμεθειρε μοριομοτυρηφιλβα, ὅτι ἐπικαλοῦμαι ἕνεκα τῆς κατεπειγούσης καὶ πικρᾶς καὶ ἀπαραιτήτου ἀνάγκης τὰ μηδέπω χωρήσαντα εἰς θνητὴν φύσιν μηδὲ φρασθέντα ἐν διαρθρώσει ὑπὸ ἀνθρωπίνης γλώσσης ἢ θνητοῦ φθόγγου ἢ θνητῆς φωνῆς ἀθάνατα ζῶντα καὶ ἔντιμα ὀνόματα· ηεω οηεω ιωω οη ηεω ηεω οη εω ιωω οηηε ωηε ωοη ιη ηω οω οη ιεω οη ωοη ιεω οη ιεεω εη ιω οη ιοη ωηω εοη οεω ωιη ωιη εω οι ιι ηοη ωυη ηωοηε εω ηια αηα εηα ηεεη εεη εεη ιεω ηεω οηεεοη ηεω ηυω οη εϊω ηω ωη ωη εε οοο υιωη.’*

*ταῦτα πάντα λέγε μετὰ πυρὸς καὶ πνεύματος τὸ πρῶτον ἀποτελῶν, εἶτα ὁμοίως τὸ δεύτερον ἀρχόμενος, ἕως ἐκτελέσῃς τοὺς ζʹ ἀθανάτους θεοὺς τοῦ κόσμου. ταῦτά σου εἰπόντος ἀκούσει βροντῆς καὶ κλόνου τοῦ περιέχοντος. ὁμοίως δὲ σεαυτὸν αἰσθηθήσει ταρασσόμενον. σὺ δὲ πάλιν λέγε· ‘σιγή’ (λόγος), εἶτα ἄνοιξον τοὺς ὀφθαλμοὺς καὶ ὄψῃ ἀνεῳγυΐας τὰς θύρας καὶ τὸν κόσμον τῶν θεῶν, ὅς ἐστιν ἐντὸς τῶν θυρῶν, ὥστε ἀπὸ τῆς τοῦ θεάματος ἡδονῆς καὶ τῆς χαρᾶς τὸ πνεῦμά σου συντρέχειν καὶ ἀναβαίνειν. στὰς οὖν εὐθέως ἕλκε ἀπὸ τοῦ θείου ἀτενίζων εἰς σεαυτὸν τὸ πνεῦμα. ὅταν οὖν ἀποκατασταθῇ σου ἡ ψυχή, λέγε· ‘πρόσελθε, κύριε, αρχανδαρα φωταζα πυριφωτα ζαβυθιξ ετιμενμερο φοραθην εριη προθρι φοραθι.’ τοῦτο εἰπόντος στραφήσονται ἐπί σε αἱ ἀκτῖνες· ἔσιδε αὐτῶν μέσον. ὅταν οὖν τοῦτο ποιήσῃς, ὄψῃ θεὸν νεώτερον, εὐειδῆ, πυρινότριχα, ἐν χιτῶνι λευκῷ καὶ χλαμύδι κοκκίνῃ ἔχοντα πύρινον στέφανον.*

εὐθέως ἄσπασαι αὐτὸν τῷ πυρίνῳ ἀσπαστικῷ·

‘κύριε, χαῖρε, μεγαλοδύναμε, με<γα>λοκράτωρ, βασιλεῦ, μέγιστε θεῶν, Ἥλιε, ὁ κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς, θεὲ θεῶν, ἰσχύει σου ἡ πνοιή, ἰσχύει σου ἡ δύναμις, κύριε· ἐάν σοι δόξῃ, ἄγγειλόν με τῷ μεγίστῳ θεῷ, τῷ σε γεννήσαντι καὶ ποιήσαντι, ὅτι ἄνθρωπος, ἐγὼ ὁ δεῖνα τῆς δεῖνα, γενόμενος ἐκ θνητῆς ὑστέρας τῆς δεῖνα καὶ ἰχῶρος σπερματικοῦ καὶ, σήμερον τούτου ὑπό σου με<τα>γεννηθέντος, ἐκ τοσούτων μυριάδων ἀπαθανατισθεὶς ἐν ταύτῃ τῇ ὥρᾳ κατὰ δόκησιν θεοῦ, ὑπερβαλλόντως ἀγαθοῦ, προσκυνῆσαί σε ἀξιοῖ καὶ δέεται κατὰ δύναμιν ἀνθρωπίνην (ἵνα συνπαραλάβῃς τὸν τῆς σήμερον ἡμέρας καὶ ὥρας ὡρονόμον, ᾧ ὄνομα θραψιαρι· μοριροκ, ἵνα φανεὶς χρηματίσῃ ἐν ταῖς ἀγαθαῖς ὥραις· εωρω ρωρε ωρρι ωριωρ ρωρ ρωι ωρ ρεωρωρι εωρ εωρ εωρ εωρε)’. ταῦτά σου εἰπόντος ἐλεύσεται εἰς τὸν πόλον, καὶ ὄψῃ αὐτὸν περιπατοῦντα ὡς ἐν ὁδῷ. σὺ δὲ ἀτενίζων καὶ μύκωμα μακρὸν κερατοειδῶς, ὅλον ἀποδιδοὺς τὸ πνεῦμα, βασανίζων τὴν λαγόνα, μυκῶ καὶ καταφίλει τὰ φυλακτήρια καὶ λέγε, πρῶτον εἰς τὸ δεξιόν· ‘φύλαξόν με προσυμηρι.’ ταῦτα εἰπὼν ὄψῃ θύρας ἀνοιγομένας καὶ ἐρχομένας ἐκ τοῦ βάθους ζ′ παρθένους ἐν βυσσίνοις, ἀσπίδων πρόσωπα ἐχούσας. αὗται καλοῦνται οὐρανοῦ Τύχαι, κρατοῦσαι χρύσεα βραβεῖα. ταῦτα ἰδὼν ἀσπάζου οὕτως· ‘χαίρετε, αἱ ζ′ Τύχαι τοῦ οὐρανοῦ, σεμναὶ καὶ ἀγαθαὶ παρθένοι, ἱεραὶ καὶ ὁμοδίαιτοι τοῦ μινιμιρροφορ, αἱ ἁγιώταται φυλάκισσαι τῶν τεσσάρων στυλίσκων. χαῖρε, ἡ πρώτη, χρεψενθαης, χαῖρε, ἡ β′, μενεσχεης, χαῖρε, ἡ γ′, μεχραν, χαῖρε ἡ δ′, αραρμαχης, χαῖρε, ἡ ε′, εχομμιη, χαῖρε, ἡ ϛ′, τιχνονδαης, χαῖρε, ἡ ζ′, Ἐρού, ρομβριης.’ προέρχονται δὲ καὶ ἕτεροι ζ′ θεοὶ ταύρων μελάνων πρόσωπα ἔχοντες ἐν περιζώμασιν λινοῖς κατέχοντες ζ′ διαδήματα χρύσεα. οὗτοί εἰσιν οἱ καλούμενοι πολοκράτορες τοῦ οὐρανοῦ, οὓς δεῖ σε ἀσπάσασθαι ὁμοίως ἕκαστον τῷ ἰδίῳ αὐτῶν ὀνόματι· ‘χαίρετε, οἱ κνωδακοφύλακες, οἱ ἱεροὶ καὶ ἄλκιμοι νεανίαι, οἱ στρέφοντες ὑπὸ ἓν κέλευσμα τὸν περιδίνητον τοῦ κύκλου ἄξονα τοῦ οὐρανοῦ καὶ βροντὰς καὶ ἀστραπὰς καὶ σεισμῶν καὶ κεραυνῶν βολὰς ἀφιέντες εἰς δυσσεβῶν φῦλα, ἐμοὶ δὲ εὐσεβεῖ καὶ θεοσεβεῖ ὄντι ὑγείαν καὶ σώματος ὁλοκληρίαν, ἀκοῆς τε καὶ ὁράσεως εὐτονίαν, ἀταραξίαν ἐν ταῖς ἐνεστώσαις τῆς σήμερον ἡμέρας ἀγαθαῖς ὥραις, οἱ κύριοί μου καὶ μεγαλοκράτορες θεοί· χαῖρε, ὁ πρῶτος, αἰερωνθι, χαῖρε, ὁ β′, μερχειμερος, χαῖρε, ὁ γ′, αχριχιουρ,

χαῖρε, ὁ δʹ, μεσαργιλτω, χαῖρε, ὁ εʹ, χιχρωαλιθω, χαῖρε, ὁ ϛʹ, ερμιχθαθωψ, χαῖρε, ὁ ζʹ, εορασιχη.’ ὅταν δὲ ἐνστῶσιν ἔνθα καὶ ἔνθα τῇ τάξει, ἀτένιζε τῷ ἀέρι καὶ ὄψῃ κατερχομένας ἀστραπὰς καὶ φῶτα μαρμαίροντα καὶ σειομένην τὴν γῆν καὶ κατερχόμενον θεὸν ὑπερμεγέθη, φωτινὴν ἔχοντα τὴν ὄψιν, νεώτερον, χρυσοκόμαν, ἐν χιτῶνι λευκῷ καὶ χρυσῷ στεφάνῳ καὶ ἀναξυρίσι, κατέχοντα τῇ δεξιᾷ χειρὶ μόσχου ὦμον χρύσεον, ὅς ἐστιν Ἄρκτος ἡ κινοῦσα καὶ ἀντιστρέφουσα τὸν οὐρανόν, κατὰ ὥραν ἀναπολεύουσα καὶ καταπολεύουσα. ἔπειτα ὄψῃ αὐτοῦ ἐκ τῶν ὀμμάτων ἀστραπὰς καὶ ἐκ τοῦ σώματος ἀστέρας ἁλλομένους. σὺ δὲ εὐθέως μύκωμα μακρόν, βασανίζων τὴν γαστέρα, ἵνα συνκινήσῃς τὰς πέντε αἰσθήσεις, μακρὸν εἰς ἀπόθεσιν, μυκῶ καταφιλῶν πάλιν τὰ φυλακτήρια καὶ λέγων· ‘μοκριμο φεριμοφερερι ζω<ή> μου, τοῦ δεῖνα, μένε σύ, νέμε ἐν τῇ ψυχῇ μου, μή με καταλείψῃς, ὅτι κελεύει σοι ενθο φενεν θροπιωθ.’ καὶ ἀτένιζε τῷ θεῷ μακρὸν μυκώμενος καὶ ἀσπάζου οὕτως· ‘κύριε, χαῖρε, δέσποτα ὕδατος, χαῖρε, κατάρχα γῆς, χαῖρε, δυνάστα πνεύματος, λαμπροφεγγῆ, προπροφεγγῆ, εμεθιρι αρτεντεπι· θηθ· μιμεω υεναρω φυρχεχω ψηρι δαριω· Φρῆ Φρηλβα· χρημάτισον, κύριε, περὶ τοῦ δεῖνα πράγματος. κύριε, παλινγενόμενος ἀπογίγνομαι, αὐξόμενος καὶ αὐξηθεὶς τελευτῶ, ἀπὸ γενέσεως ζωογόνου γενόμενος, εἰς ἀπογενεσίαν ἀναλυθεὶς πορεύομαι, ὡς σὺ ἔκτισας, ὡς σὺ ἐνομοθέτησας καὶ ἐποίησας μυστήριον. ἐγώ εἰμι φερουρα μιουρι.’ ταῦτά σου εἰπόντος εὐθέως χρησμῳδήσει. ὑπέκλυτος δὲ ἔσει τῇ ψυχῇ καὶ οὐκ ἐν σεαυτῷ ἔσει, ὅταν σοι ἀποκρίνηται. λέγει δέ σοι διὰ στίχων τὸν χρησμὸν καὶ εἰπὼν ἀπελεύσεται, σὺ δὲ στήκεις ἐνεός, ὡς ταῦτα πάντα χωρήσεις αὐτομάτως, καὶ τότε μνημονεύσεις ἀπαραβάτως τὰ ὑπὸ τοῦ μεγάλου θεοῦ ῥηθέντα, κἂν ἦν μυρίων στίχων ὁ χρησμός. ἐὰν δὲ θέλῃς καὶ συνμύστῃ χρήσασθαι ὥστε τὰ λεγόμενα ἐκεῖνον μόνον σύν σοι ἀκούειν, συναγνευέτω σοι <ζʹ> ἡμέρας καὶ ἀποσχέσθω ἐμψύχων καὶ βαλανείου. ἐὰν δὲ καὶ μόνος ᾖς καὶ ἐγχειρῇς τὰ ὑπὸ τοῦ θεοῦ εἰρημένα, λέγεις ὡς ἐν ἐκστάσει ἀποφοιβώμενος. ἐὰν δὲ καὶ δεῖξαι αὐτῷ θέλῃς, κρίνας, εἰ ἄξιός ἐστιν ἀσφαλῶς ὡς ἄνθρωπος, χρησάμενος τῷ τ<ρ>όπῳ, ὡς ὑπὲρ αὐτοῦ κρινόμενος ἐν τῷ ἀπαθαν<ατ>ισμῷ, τὸν πρῶτον ὑπόβαλε αὐτῷ λόγον, οὗ ἡ ἀρχή· ‘γένεσις πρώτη τῆς ἐμῆς γενέσεως αεηιουω.’

*τὰ δὲ ἑξῆς ὡς μύστης λέγε αὐτοῦ ἐπὶ τῆς κεφαλῆς ἀτόνῳ φθόγγῳ, ἵνα μὴ ἀκούσῃ, χρίων αὐτοῦ τὴν ὄψιν τῷ μυστηρίῳ. γίγνεται δὲ ὁ ἀπαθανατισμὸς οὗτος τρὶς τοῦ ἐνιαυτοῦ. ἐὰν δὲ βουληθῇ τις, ὦ τέκνον, μετὰ τὸ παράγγελμα παρακοῦσαι, τῷ οὐκέτι ὑπάρξει. Διδασκαλία τῆς πράξεως· λαβὼν κάνθαρον ἡλιακὸν τὸν τὰς ιβ ἀκτῖνας ἔχοντα ποίησον εἰς βησίον καλλάϊνον βαθὺ ἐν ἁρπαγῇ τῆς σελήνης βληθῆναι, συνεμβαλὼν αὐτῷ λωτομήτρας σπέρμα καὶ μέλι λειώσας ποίησον μαζίον, καὶ εὐθέως αὐτὸν ὄψῃ προσερχόμενον καὶ ἐσθίοντα, καὶ ὅταν φάγῃ, εὐθέως θνῄσκει. τοῦτον ἀνελόμενος βάλε εἰς ἀγγεῖον ὑελοῦν μύρου ῥοδίνου καλλίστου, ὅσον βούλει, καὶ στρώσας καθαρείως ἄμμον ἱερὰν ἐπίθες τὸ ἀγγεῖον καὶ λέγε τὸ ὄνομα ἐπὶ τοῦ ἄγγους ἐπὶ ἡμέρας ζʹ ἡλίου μεσουρανοῦντος· ‘ἐγώ σε ἐτέλεσα, ἵνα μοι ἡ σου οὐσία γένῃ χρήσιμος, τῷ δεῖνα μόνῳ ιε ια η εη ου εια· ἐμοὶ μόνῳ χρησιμεύσῃς· ἐγὼ γάρ εἰμι φωρ φορα φως φοτιζαας (οἱ δέ· φωρ φωρ οφοθει ξαας).’ τῇ δὲ ζʹ ἡμέρᾳ βαστάξας τὸν κάνθαρον, θάψας ζμύρνῃ καὶ οἴνῳ Μενδησίῳ καὶ βυσσίνῳ ἀπόθου ἐν κυαμῶνι ζωοφυτοῦντι. τὸ δὲ χρῖσμα ἑστιάσας καὶ συνευωχηθεὶς ἀπόθου καθαρείως εἰς τὸν ἀπαθανατισμόν. ἐὰν δὲ ἄλλῳ θέλῃς δεικνύειν, ἔχε τῆς καλουμένης βοτάνης κεντρίτιδος χυλὸν περιχρίων τὴν ὄψιν, οὗ βούλει, μετὰ ῥοδίνου, καὶ ὄψεται δηλαυγῶς ὥστε σε θαυμάζειν. τούτου μείζον᾽ οὐχ εὗρον ἐν τῷ κόσμῳ πραγματείαν. αἰτοῦ δέ, ἃ βούλει, τὸν θεόν, καὶ δώσει σοι. ἡ δὲ τοῦ μεγάλου θεοῦ σύστασίς ἐστιν ἥδε· βαστάξας κεντρῖτιν τὴν προκειμένην βοτάνην τῇ συνόδῳ τῇ γενομένῃ λέοντι ἆρον τὸν χυλὸν καὶ μίξας μέλιτι καὶ ζμύρνῃ γράψον ἐπὶ φύλλου περσέας τὸ ὀκταγράμματον ὄνομα, ὡς ὑπόκειται, καὶ πρὸ γʹ ἡμερῶν ἁγνεύσας ἐλθὲ πρωίας πρὸς ἀνατολάς, ἀπόλειχε τὸ φύλλον δεικνύων ἡλίῳ, καὶ οὕτως ἐπακούσεται τελείως. ἄρχου δὲ αὐτὸν τελεῖν τῇ ἐν λέοντι κατὰ θεὸν νουμηνίᾳ. τὸ δὲ ὄνομά ἐστιν τοῦτο· ϊ εε οο ϊαϊ. τοῦτο ἔκλειχε, ἵνα φυλακτηριασθῇς, καὶ τὸ φύλλον ἑλίξας ἔμβαλε εἰς τὸ ῥόδινον. πολλάκις δὲ τῇ πραγματείᾳ χρησάμενος ὑπερεθαύμασα. εἶπεν δέ μοι ὁ θεός· ‘μηκέτι χρῶ τῷ συγχρίσματι, ἀλλὰ ῥίψαντα εἰς ποταμὸν <χρὴ> χρᾶσθαι φοροῦντα τὸ μέγα μυστήριον τοῦ κανθάρου τοῦ ἀναζωπυρηθέντος διὰ τῶν κε ζῴων ὄρνεων, χρᾶσθαι ἅπαξ τοῦ μηνὸς, ἀντὶ τοῦ κατὰ ἔτος γʹ, κατὰ*

*πανσέληνον.’ ἡ δὲ κεντρῖτις βοτάνη φύεται ἀπὸ μηνὸς Παϋνὶ ἐν τοῖς μέρεσι τῆς μελάνης γῆς, ὁμοία δέ ἐστιν τῷ ὀρθῷ περιστερεῶνι. ἡ δὲ γνῶσις αὐτῆς οὕτως γίγνεται· ἴβεως πτερὸν χρίεται τὸ ἀκρομέλαν χαλασθὲν τῷ χυλῷ καὶ ἅμα τῷ θιγεῖν ἀποπίπτει τὰ πτερά. τοῦτο τοῦ κυρίου ὑποδείξαντος εὑρέθη ἐν τῷ Μενελαΐτῃ ἐν τῇ Φαλαγρὺ πρὸς ταῖς ἀναβολαῖς πλησίον τοῦ Βησάδος βοτάνης. ἔστιν δὲ μονόκλωνον καὶ πυρρὸν ἄχρι τῆς ῥίζης καὶ τὰ φύλλα οὐλότερα καὶ τὸν καρπὸν ἔχοντα ὅμοιον τῷ κορύμβῳ ἀσπαράγου ἀγρίου. ἔστιν δὲ παραπλήσιον τῷ καλουμένῳ ταλάπῃ, ὡς τὸ ἄγριον σεῦτλον. τὰ δὲ φυλακτήρια ἔχει τὸν τρόπον τοῦτον· τὸ μὲν δεξιὸν γράψον εἰς ὑμένα προβάτου μέλανος ζμυρνομέλανι, τὸ δὲ αὐτὸ δήσας νεύροις τοῦ αὐτοῦ ζώου περίαψαι, τὸ δὲ εὐώνυμον εἰς ὑμένα λευκοῦ προβάτου καὶ χρῶ τῷ αὐτῷ τρόπῳ. εὐώνυμ<ον τ>οῦ ‘προσθυμηρι’ πληρέστατον καὶ τὸ ὑπόμνημα ἔχει·*

*‘ὣς εἰπὼν τάφροιο διήλασε μώνυχας ἵππους·’*
*‘ἄνδρας τ’ ἀσπαίροντας ἐν ἀργαλέοισι φόνοισι’*
*‘αὐτοὶ δ’ ἱδρῶ πολλὸν ἀπενίζοντο θαλάσσῃ·’*
*‘τολμήσεις Διὸς ἄντα πελώριον ἔγχος ἀεῖραι.’*

*ἀνέβη Ζεὺς εἰς ὄρος χρυσοῦν μόσχον ἔχων καὶ μάχαιραν ἀργυρέαν· πᾶσιν μέρος ἐπέδωκεν, Ἀμάρᾳ μόνον οὐκ ἔδωκεν, εἶπεν δέ· ‘ἔξαφες, ὃ ἔχεις, καὶ τότε λήψει ψινωθερ νωψιθερ θερνωψι’ (κοινόν).*

*‘τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος κρατερός τ’ Ἐπιάλτης.’*

*Θυμοκάτοχον·*
*‘τολμήσεις Διὸς ἄντα πελώριον ἔγχος ἀεῖραι.’*

*Πρὸς φίλους·*
*‘αἱρείτω, μὴ χάρμα γενώμεθα δυσμενέεσσιν.’*

## XIII 1-343

*Βίβλος ἱερὰ ἐπικαλουμένη Μονὰς ἢ Ὀγδόη Μοϋσέως περὶ τοῦ ὀνόματος τοῦ ἁγίου. περιέχει δὲ οὕτως· ἁγνὸς μεῖνον ἡμέρας μα' προψηφίσας, ἵνα εἰς τὴν σύνοδον τὴν ἐν κριῷ καταντήσῃ. ἔχε δὲ οἶκον ἐπίπεδον, ὅπου πρὸ ἐνιαυτοῦ οὐδεὶς ἐτελεύτησε, —ἔστω δὲ ἡ θύρα πρὸς δυσμὰς βλέπουσα—καὶ ἀναπήξας μέσον τοῦ οἴκου βωμὸν γέϊνον καὶ ξύλα κυπαρίσσινα, στροβίλους δεξιοὺς δέκα, ἀλέκτορας δύο λευκούς, ἀσινεῖς τελείους, καὶ λύχνους δύο τεταρτημορίους πληρώσας ἐλαίου χρηστοῦ. καὶ μηκέτι ἐπιχέῃς· εἰσελθόντος γὰρ τοῦ θεοῦ περισσότερον ἐξαφθήσονται. ἀπηρτίσθω δὲ ἡ τράπεζα τοῖς ἐπιθύμασι τούτοις, συγγενικοῖς οὖσι τοῦ θεοῦ—ἐκ δὲ ταύτης τῆς βίβλου Ἑρμῆς κλέψας τὰ ἐπιθύματα ζ' προσεφώνησεν <ἐν> ἑαυτοῦ ἱερᾷ βύβλῳ ἐπικαλουμένῃ 'Πτέρυγι'—τοῦ μὲν Κρόνου στύραξ (ἔστιν γὰρ βαρὺς καὶ εὐώδης), τοῦ δὲ Διὸς μαλάβαθρον, τοῦ δὲ Ἄρεως κόστος, τοῦ δὲ Ἡλίου λίβανον, τῆς δὲ Ἀφροδίτης νάρδος Ἰνδικός, τοῦ δὲ Ἑρμοῦ κασία, τῆς δὲ Σελήνης ζμύρνα. ταῦτά ἐστιν τὰ ἀπόκρυφα ἐπιθύματα. ὃ δὲ λέγει ἐν τῇ 'Κλειδί' Μουσῆς· 'σκευάσεις ἐπὶ παντὸς ὄροβον ἡλιακόν', κύαμον Αἰγύπτιον τούτοις λέγει. καὶ—ταῦτα δὲ ὁ Μανεθὼς ἔλεγε ἐν ἰδίᾳ βίβλῳ—ἐντεῦθεν βαστάσας τὰ ζ' ἄνθη τῶν ζ' ἀστέρων, ἅ ἐστι σαμψούχινον, κρίνινον, λώτινον, ἐρεφύλλινον, ναρκίσσινον, λευκόϊνον, ῥόδον. ταῦτα τὰ ἄνθη πρὸ εἴκοσι μιᾶς ἡμέρας τῆς τελετῆς λειοτρίβησον εἰς λευκὴν θυίαν καὶ ξήρανον ἐν σκιᾷ καὶ ἔχε αὐτὰ ἕτοιμα εἰς τὴν ἡμέραν ἐκείνην. πρότερον δὲ συνιστάνου οἵᾳ δήποτ' οὖν νεομηνίᾳ κατὰ θεὸν τοῖς ὡρογενέσιν θεοῖς, οἷς ἔχεις ἐν τῇ 'Κλειδί'. τελεσθήσῃ δὲ αὐτοῖς οὕτως· ποίησον ἐκ σεμιδάλεως ζῴδια γ'· ταυροπρόσωπον, τραγοπρόσωπον, κριοπρόσωπον, ἓν ἕκαστον αὐτῶν ἐπὶ πόλου ἑστῶτα, μάστιγας ἔχοντα Αἰγυπτίας, καὶ περικαπνίσας κατάφαγε λέγων τὸν λόγον τῶν ὡρογενῶν, τὸν ἐν τῇ 'Κλειδί', καὶ τὸν ἐπάναγκον αὐτῶν καὶ τοὺς ἐφεβδοματικοὺς τεταγμένους, καὶ ἔσῃ <τε>τελεσμένος αὐτοῖς. εἶτα τῇ καθολικῇ συστάσει ἔχε νίτρον τετράγωνον, εἰς ὃ γράψει[ς] τὸ μέγα ὄνομα ταῖς ἑπτὰ φωναῖς. ἀντὶ δὲ τοῦ ποππυσμοῦ καὶ τοῦ συριγμοῦ γράψον εἰς τὸ ἓν μέρος τοῦ νίτρου κορκόδειλον ἱερακοπρόσωπον καὶ αὐτῷ ἐφεστῶτα τὸν ἐννεάμορφον· αὐτὸς γὰρ ὁ ἱερακοπρόσωπος κορκόδειλος εἰς τὰς δ' τροπὰς τὸν θεὸν ἀσπάζεται τῷ ποππυσμῷ· ἀναπνεύσας γὰρ ποππύζει ἐκ τοῦ βυθοῦ, καὶ ἀντιφωνεῖ αὐτῷ ὁ τὰς θ' μορφὰς <ἔχων>. διὸ ἀντὶ τοῦ ποππυσμοῦ τὸν ἱερακοπρόσωπον κορκόδειλον γράφε· ἔστιν γὰρ ἡ πρώτη κεραία τοῦ ὀνόματος ὁ ποππυσμός. δεύτερον συριγμός· ἀντὶ δὲ τοῦ συριγμοῦ δράκοντα δάκνοντα τὴν οὐράν, ὥστε εἶναι τὰ δύο, ποππυσμὸν καὶ συριγμόν, ἱερακοπρόσωπον κορκόδειλον καὶ ἐννεάμορφον ἐπάνω ἑστῶτα καὶ κύκλῳ τούτων δράκοντα καὶ τὰς ἑπτὰ φωνάς. ἔστιν δὲ ὀνόματα θ', ὧν πρόλεγε τοὺς ὡρογενεῖς σὺν τῇ στήλῃ καὶ τοὺς ἡμερεσίους <καὶ> τοὺς ἐφεβδοματικοὺς τεταγ<μ>ένους καὶ τούτων τὸν ἐπάναγκον.*

ἄτερ γὰρ τούτων ὁ <θ>εὸς οὐκ ἐπακούσεται, ἀλλ' ὡς ἀμυστηρίαστον οὐ παραδέξεταί <σε>, εἰ μὴ τὸν κύριον τῆς ἡμέρας προείπῃς καὶ τῆς ὥρας πυκνότερον, ἣν εὑρήσεις ἐπὶ τέλους διδαχήν. ἄτερ γὰρ αὐτῶν οὐδὲ ἓν ἀπεργάσει, ἐν οἷς ἔχεις ἐν τῇ 'Κλειδί'. ἔστιν δὲ ἡ ἱερὰ στήλη ἡ ἐν τῷ νίτρῳ γραφομένη·

'ἐπικαλοῦμαί σε τὸν πάντων μείζονα, τὸν πάντα κτίσαντα, σὲ τὸν α<ὐ>τογέννητον, τὸν πάντα ὁρῶντα καὶ μὴ ὁρώμενον· σὺ γὰρ ἔδωκας ἡλίῳ τὴν δόξαν καὶ τὴν δύναμιν ἅπασαν, σελήνην αὔξειν καὶ ἀπολήγειν καὶ δρόμους ἔχειν τακτούς, μηδὲν ἀφαιρήσας τοῦ προγενεστέρου σκότους, ἀλλ' ἰσότητα αὐτῶν ἐμέρισας· σοῦ γὰρ φανέντος καὶ κόσμος ἐγένετο καὶ φῶς ἐφάνη. σοὶ πάντα ὑποτέτακται, οὗ οὐδεὶς θεῶν δύναται ἰδεῖν τὴν ἀληθινὴν μορφήν. ὁ μεταμορφούμενος εἰς πάντας, ἀόρατος εἶ Αἰὼν Αἰῶνος. ἐπικαλοῦμαί σε, κύριε, ἵνα μοι φανῇς ἀγαθῇ μορφῇ, ὅτι δουλεύω ὑπὸ τὸν σὸν κόσμον τῷ σῷ ἀγγέλῳ, Βιαθιαρβαρ βερβιρ σχιλατουρ βουφρουμτρωμ, καὶ τῷ σῷ Φόβῳ, Δανουφ Χρατορ Βελβαλι Βαλβιθ, Ἰάω. διὰ σὲ συνέστηκεν ὁ πόλος καὶ ἡ γῆ. ἐπικαλοῦμαί σε, κύριε, ὡς οἱ ὑπό σου θεοὶ φανέντες, ἵνα δύναμιν ἔχωσιν Ἐχεβυκρωμ Ἡλίου, οὗ ἡ δόξα· 'ααα ηηη ωωω ιιι ααα ωωω Σαβαώθ, Αρβαθιαω. Ζαγουρη, ὁ θεὸς Αραθυ Ἀδωναῖε.' ἐπικαλοῦμαί σε, κύριε, ὀρνεογλυφιστί· 'ἀραί', ἱερογλυφιστί· 'λαϊλαμ', ἁβραϊστί· 'ἀνοχ Βιαθιαρβαθ βερβιρ εχιλατουρ βουφρουμτρομ', αἰγυπτιστί· 'Ἀλδαβαειμ', κυνοκεφαλιστί· 'Ἀβρασάξ'. ἱερακιστί· 'χι χι χι χι χι χι χι τιφ τιφ τιφ', ἱερατιστί· 'μενεφωϊφωθ· χα χα χα χα χα χα χα'.

εἶτα κρότησον γ', πόππυσον μακρόν, σύρισον ἐπὶ μῆκος. 'ἧκέ <μοι>, κύριε, ἀμώμητος καὶ ἀπήμαντος, ὁ μηδένα τόπον μιαίνων, ὅτι τετέλεσμαί σου τὸ ὄνομα.'

ἔχε δὲ πινακίδα, εἰς ἣν μέλ<λ>εις γρ<ά>φ<ε>ιν, ὅσα σοι λέγει, καὶ μαχαῖριν ὁλοσίδηρον δίστομον, ἵν' ἐὰν τὰ θύματα θύῃς, καθαρὸς ἀπὸ πάντων, καὶ σπονδή<ν>, οἴνου κεράμιον καὶ ἀγγεῖον μέλιτος μεστόν, ἵνα ἂ<ν> σπείσῃς. πάντα δέ σοι παρακείσθω ἕτοιμα. σὺ δὲ ἐν λίνοις ἴσθι καθαροῖς ἐστεμ<μ>ένος ἐλαΐνῳ στεφάνῳ, ποιήσας τὸν πέτασον οὕτως· λαβὼν σινδόνα καθαρὰν ἔγγραψον κροσῷ τοὺς τξε' θεούς, ποίησον καλύβην, ὑφ' ἣν ἴθι τελούμενος. ἔχε δὲ καὶ κατὰ τοῦ τραχήλου κιννάμμωμον· αὐτῷ γὰρ ἥδεται τὸ θεῖον καὶ τὴν δύναμιν παρέσχετο. ἔχε δὲ καὶ ἐκ ῥίζης δάφνης τὸν συνεργοῦντα Ἀπόλλωνα [γε]γλυμμένον, ᾧ παρέστηκεν τρίπους καὶ Πύθιος δράκων. γλύψον δὲ περ<ὶ> τὸν Ἀπόλλων<α> τὸ μέγα ὄνομα Αἰγυπτιακῷ σχήματι· ἐπὶ τοῦ στήθους ἀναγραμματιζόμενον τὸ 'Βαϊνχωωωχωωωχνϊαβ' καὶ κατὰ τοῦ νώτου τοῦ ζῳδίου τὸ ὄνομα τοῦτο 'ἰλϊλλου· ἰλϊλλου· ἰλϊλλου'. περὶ δὲ τὸν Πύθιον δράκοντα καὶ τὸν

*τρίποδα· ‘ιθωρ μαρμαραυγὴ φωχω ·φωβωχ.’ ἔχε δὲ τοῦτο κατὰ τοῦ τραχήλου τελέσας συνεργὸν ὂν τῶν πάντων μετὰ τοῦ κινναμμώμου. προαγνεύσας οὖν, ὡς προεἶπον, πρὸ ἑπτὰ ἡμερῶν σελήνης λειπούσης, κατὰ τὴν σύνοδον χαμαικοιτῶν ἐπὶ ψιάθου θρυΐνης, κατὰ πρωὶ ἀνιστανόμενος τὸν ἥλιον χαιρέτισον ἐπὶ ἑπτὰ ἡμέρας καθ’ ἡμέραν λέγων τοὺς ὡρ<ο>γενεῖς θεοὺς πρῶτον, εἶτα τοὺς ἐφεβδοματικοὺς τεταγμένο<υ>ς. μαθὼν δὲ τὸν κύριον τῆς ἡμέρα<ς> ἐκεῖνον ἐνόχλει λέγων· ‘κύριε, τῇ πόστῃ καλῶ τὸν θεὸν εἰς τὰς ἱερὰς θυσίας,’ οὕτω ποιῶ<ν> ἄχρι τῆς ὀγδόης ἡμέρας. ἐλθὼν οὖν ἐπὶ τὴν ἡμέραν τὸ μεσονύκτιον ὥρᾳ πέ<μ>πτῃ, ὅταν ἡσυχία γένηται, ἀνάψας τὸν βωμὸν ἔχε παρεστῶτας τοὺς δύο ἀλεκτρυόνας καὶ τοὺς δύο λύχνους —ἤτωσαν δὲ οἱ λύχνοι τεταρτημόριοι—ἡμμένους, οἷς οὐκέτι ἐπιβαλεῖς ἔλαιον. ἄρξαι λέγειν τὴν στήλην καὶ τὸ μυστήριον τοῦ θεοῦ, ὅ ἐστιν κάνθαρος. ἔχε δὲ κρατῆρα παρακείμενον ἔχοντα γάλα μελαίν<η>ς βοὸς καὶ οἶνον ἀθάλασ<σ>ον. ἔστιν γὰρ ἀρχὴ καὶ τέλος. γράψας οὖν εἰς τὰ δύο μέρη τοῦ νίτρου τὴν στήλην, ἀπόλειξον τὸ ἓν μέρος καὶ τὸ ἕ<τερο>ν βρέξας εἰς τὸν κρατῆρα ἀπόπλυνε. γραφέσθω δὲ τὸ νίτρον ἐξ ἀμφοτέρων, τῶν ἐπιθυμάτων καὶ τῶν ἀνθέων. πρὸ τοῦ δέ σε ἀποροφᾶν τὸ γάλα καὶ τὸν οἶνον ἐπερεῖς τὴν ἐντυχίαν ταύτην, καὶ εἰπὼν κατάκου ἐπὶ τῶν στρωμάτων κατέχων καὶ τὴν πινακίδα καὶ τὸ γραφεῖον καὶ λέγε. Ἑρμαϊκός· ‘ἐπικαλοῦμαί σε, τὸν τὰ πάντα περιέχοντα, πάσῃ φωνῇ καὶ πάσῃ διαλέκτῳ, ὡς πρ<ώ>τως ὕμνησέ σε ὁ ὑπό σου ταχθεὶς καὶ πάντα πιστευθεὶς τὰ αὐθεντικά, Ἥλιος Ἀχεβυκρωμ (ὃ μηνύει τοῦ δίσκου τὴν φλόγα καὶ τὴν ἀκτῖνα), οὗ ἡ δόξα· ααα· ηηη· ωωω, ὅτι διὰ σὲ ἐνεδοξάσθη <ἀέρας>, εἶθ’ ὡσαύτως ἀγλαομορφουμένους τοὺς ἀστέρας ἱστὰς καὶ τῷ φωτὶ τῷ ἐνθέῳ κτίζων τὸν κόσμον ιιι· ααα ωωω, ἐν ᾧ διέστησας τὰ πάντα, Σαβαώθ· Ἀρβαθιάω· Ζαγουρη. οὗτοί εἰσιν οἱ πρῶτοι φανέντες ἄγγελοι· Ἀραθ· Ἀδωναῖε· Βασημμ Ἰάω. ὁ δὲ πρῶτος ἄγγελος φωνεῖ ὀρνεογλυφιστί· ‘ἀραί,’ ὅ ἐστιν <‘οὐαὶ τῷ ἐχθρῷ μου,’ καὶ ἔταξας αὐτὸν> ἐπὶ τῶν Τιμωριῶν. ὁ δὲ Ἥλιος ὑμνεῖ σε ἱερογλυφιστί· ‘Λαϊλαμ’, ἀβραϊστὶ δὲ διὰ τοῦ αὐτοῦ ὀνόματος· ‘ἀνοκ Βιαθιαρβα[ρ]βερβιρσχι λατουρβουφρουμτρωμ’ (γράμματα λϛʹ) λέγων· ‘προάγω σου, κύριε, ἐγὼ ἐπὶ τῆς βάρεως ἀνατέλλων, ὁ δίσκος, διά σε.’ τὸ δὲ φυσικόν σου ὄνομα αἰγυπτιστί· ‘Ἀλδαβιαειμ’ (γράμματα θʹ, κάτω). ἔστιν δὲ ὁ ἐπὶ τῆς βάρεως φανεὶς συνανατέλλων κυνοκεφαλοκέρδων. ἰδίᾳ διαλέκτῳ ἀσπάζεταί σε λέγων· ‘σὺ εἶ ὁ ἀριθμὸς τοῦ ἐνιαυτοῦ· Ἀβρασ<ά>ξ.’ ὁ δὲ ἐπὶ τοῦ ἑτέρου μέρο<υ>ς ἱέραξ ἰδίᾳ φωνῇ ἀσπάζεταί σε καὶ ἐπιβοᾶται, ἵνα λάβῃ τροφήν· χι· χι· χι· χι· χι· χι· χι: τιπ· τιπ· τιπ· τιπ· τιπ· τιπ· τιπ:’ ὁ δὲ ἐννεάμορφος ἀσπάζεταί σε ἱερατιστί· ‘Μενεφωϊφωθ’, λέγων μηνύει ὅτι· ‘προάγω σου, κύριε’.’ εἰπὼν ἐκρότησε γʹ, καὶ ἐγέλασεν ὁ θεὸς ζʹ· ‘χα χα χα χα χα χα χα.’ γελάσαντος δὲ τοῦ θεοῦ ἐγεννήθησαν θεοὶ ζʹ, οἵτινες τὸν κόσμον περιέχουσιν.*

*(ἄνω.) οὗτοι γάρ εἰσιν οἱ προφανέντες. κακχάσαντος πρῶτον αὐτοῦ ἐφάνη Φῶς (Αὐγή) καὶ διηύγασεν τὰ πάντα. ἐγένετο δὲ θεὸς ἐπὶ τοῦ κόσμου καὶ τοῦ πυρός, Βεσσυν βεριθεν βεριο. ἐκάχασεν δὲ β′· ἦν πάντα ὕδωρ. ἀκούσασα ἡ Γῆ ἤχου<ς> ἐξεβόησεν καὶ ἐκύρτανεν, καὶ ἐγένετο τὸ ὕδωρ τριμερές. ἐφάνη θεός, ἐτάγη ἐπὶ τῆς ἀβύσσου· χωρὶς γὰρ αὐτοῦ οὔτε αὔξει τὸ ὑγρὸν οὔτε ἀπολήγει. ἔστιν δὲ αὐτοῦ τὸ ὄνομα· Ἐσχακλεω. σὺ γὰρ εἶ· ωηαι, εἶ ὢν βεθελλε.' βουλ⟦ευ⟧ομένου δὲ τὸ γ′ κακχάσαι ἐφάνη διὰ τῆς πικρίας τοῦ θεοῦ Νοῦς (ἢ Φρένες) κατέχων καρδίαν· ἐκλήθη Ἑρμῆς, ἐκλήθη Σεμεσιλάμ. ἐκάχασε τὸ τέταρτον ὁ θεός, καὶ ἐφάνη Γέννα κρατοῦσα σποράν. ἐκλήθη δὲ Βαδητοφωθ Ζωθαξαθωζ. ἐγέλασε τὸ πέμπτον καὶ γελῶν ἐστύγνασε, καὶ ἐφάνη Μοῖρα κατέχουσα ζυγόν, μηνύουσα ἐν ἑαυτῇ τὸ δίκαιον εἶναι. ὁ δὲ Ἑρμῆς συνηρίσθη αὐτῇ λέγων· 'ἐν ἐμοί ἐστι τὸ δίκαιον.' (ἄνω.) τῶν δὲ μαχομένων ὁ θεὸς ἔφη· 'ἐξ ἀμφοτέρων τὸ δίκαιον φανήσεται, πάντα δὲ ὑπὸ σὲ ἔσται τὰ ἐν κόσμῳ.' καὶ πρώτη τὸ σκῆπτρον ἔλαβε τοῦ κόσμου, ἧς τὸ ὄνομα ἀναγραμματιζόμενον μέγα ἐστὶν καὶ ἅγ<ι>ον καὶ ἔνδοξον. ἔστι δὲ τοῦτο· 'θοριοβριτιταμμα ωρραγγαδωιωδαγγαρρωαμματιτιρβοιροθ' (γράμματα μθ′). ἐκάκχασε τὸ ἕκτον καὶ ἱλαρύνθη πολύ. καὶ ἐφάνη Καιρὸς κατέχων σκῆπτρον, μηνύων βασιλείαν, καὶ ἐπέδωκεν τῷ θεῷ τῷ πρωτοκτιστῷ τὸ σκῆπτρον, καὶ λαβὼν ἔφη· 'σὺ τὴν δόξαν τοῦ Φωτὸς περιθέμενος, ἔσῃ μετ' ἐμέ' .... 'ἀνοχ Βιαθιαρ βαρβερβιρ σιλατουρβου φρουμτρωμ' (γράμματα λϛ′). ἕβδομον κακχάσαντος τοῦ θεοῦ ἐγένετο Ψυχή, καὶ κακχάζων ἐδάκρυσε. ἰδὼν τὴν Ψυχὴν ἐσύρισε, καὶ ἐκύρτανε ἡ γῆ καὶ ἐγέννησε Πύθιον δράκοντα, ὃς τὰ πάντα προῄδει. ἐπεκάλεσε δὲ αὐτὸν ὁ θεός· Ἰλιλλου· ἰλιλλου· ἰλιλλου· ἰλιλλου· Ἰθωρ, μαρμαραυγή, φωχω φωβωχ.' ἰδὼν τὸν δράκοντα ὁ θεὸς ἐθαμβήθη καὶ ἐπόππυσε. ποππύσαντος τοῦ θεοῦ ἐφάνη ἔνοπλός τις, ὃς καλεῖται· 'Δανουπ Χρατορ Βερβαλι Βαρβιθ.' ἰδὼν ὁ θεὸς πάλιν ἐπτοήθη, ὡς ἰσχυρότερον θεωρήσας, μήποτε ἡ γῆ ἐξέβρασε θεόν. βλέπων κάτω εἰς τὴν γῆν ἔφη· 'Ιαω'. ἐγεννήθη θεὸς ἐκ τοῦ ἤχους, ὃς πάντων ἐστὶν κύριος. ἤρισεν αὐτῷ ὁ πρότερος λέγων· 'ἐγὼ τούτου ἰσχυρότερός εἰμι'. ὁ θεὸς ἔφη τῷ ἰσχυρῷ· 'σὺ μὲν ἀπὸ ποππυσμοῦ τυγχάνεις, οὗτος δὲ ἐξ ἤχους. ἔσεσ<θ>ε ἀμφότεροι ἐπὶ πάσης ἀνάγκης.' ἐκλήθη δὲ ἔκτοτε 'Δανουπ Χρατορ Βερβαλι Βαλβιθ, Ἰάω.' κύριε, ἀπομιμοῦμαι ταῖς ζ′ φωναῖς, εἴσελθε καὶ ἐπάκουσόν μοι· 'α εε ηηη ιιιι οοοοο υυυυυυ ωωωωωωω, αβρωχ· βραωχ χραμμαωθ· προαρβαθω· Ἰάω ουαεηϊουω.'*

*ἐπὰν εἰσέλθῃ ὁ θεός, κάτω βλέπε καὶ γράφε τὰ λεγόμενα καὶ ἣν δίδωσίν σοι αὐτοῦ ὀνομασίαν. μὴ ἐξέλθῃ δὲ ἐκ τῆς σκηνῆς σου, ἄχρι σοι καὶ τὰ περί σε εἴπῃ ἀκριβῶς. ἡ δὲ τοῦ πολεύοντος πῆξις περιέχει οὕτως· γνῶθι, τέκνον, τίνος ἡμέρα εἰς τὸ Ἑλληνικόν, καὶ ἐλθὼν εἰς τὴν ἑπτάζωνον μέτρει ἀποκάτωθεν καὶ εὑρήσεις. ἐὰν γὰρ ἡμέρα Ἡλίου εἰς τὸ Ἑλληνικόν, Σελήνη πολεύει, οὕτως καὶ οἱ ὕστεροι, οἷον*

| *Ἑλληνικόν·* | *ἑπτάζωνος·* |
| --- | --- |
| *Ἥλιος* | *Κρόνος* |
| *Σελήνη* | *Ζεύς* |
| *Ἄρης* | *Ἄρης* |
| *Ἑρμῆ<ς>* | *Ἥλιος* |
| *Ζεύς* | *Ἀφροδίτη* |
| *Ἀφροδίτη* | *Ἑρμῆς* |
| *Κρόνος* | *Σελήνη* |

*τούτων τὴν ἀκάματον λύσιν καὶ θεοφιλῆ προσεφώνησά σοι, τέκνον, ἣν οὐδὲ βασιλεῖς ἴσχυσαν καταλαβέσθαι.*

*ἐπιγράψεις δὲ τὸ νίτρον τῷ μέλανι τῷ διὰ τῶν ἀνθέων τῶν ζʹ <ἀστέρων> καὶ ἀρωμάτων. ὁμοίως καὶ ποιήσεις τὸν ὄροβον, ὃν ἀλληγορικῶς ἐν τῇ ‘Κλειδί’ μου εἶπον, ἐκ τῶν ἀνθέων καὶ τῶν ἐπιθυμάτων,*

*πλήρης ἡ τελετὴ τῆς Μονάδος προσεφωνήθη σοι, τέκνον. ὑποτάξω δέ σοι, τέκνον, καὶ τὰς χρείας τῆς ἱερᾶς βίβλου, ἃς πάντες οἱ σοφισταὶ ἐτέλησαν ἀπὸ ταύτης τῆς ἱερᾶς καὶ μακάριδος βίβλου. ὡς ἐξώρκισά σε, τέκνον, ἐν τῷ ἱερῷ τῷ ἐν Ἱεροσολύμῳ· πλησθεὶς τῆς θεοσοφίας ἀνεύρετον ποίησον τὴν βίβλον. ἔστιν οὖν πρώτη ἡ θαυμάσιος ἀμαυρά. λαβὼν ᾠὸν ἱέρακος τὸ ἥμισυ αὐτοῦ χρύσωσον, τὸ δὲ ἄλλο ἥμισυ χρῖσον κινναβάρει. τοῦτο φορῶν ἀθεώρητος ἔσῃ ἐπιλέγων τὸ ὄνομα. ἐπὶ δὲ ἀγωγῆς πρὸς τὸν ἥλιον εἰπὲ γʹ τὸ ὄνομα· ἄγει γυναῖκα ἀνδρὶ καὶ ἄνδρα γυναικὶ ὥστε θαυμάσαι. ἐάν τινα θέλῃς μυρικῶσαι πρὸς ἄνδρα γυναῖκα ἢ ἄνδρα πρὸς γυναῖκα, λαβὼν ἀνφώδευμα κυνὸς βάλε κα<τὰ> τοῦ στροφέως τῆς θύρας αὐτῶν εἰπὼν τὸ ὄνομα γʹ, λέγων· ‘διακόπτω τὸν δεῖνα ἀπὸ τοῦ δεῖνα.’ ἐ<ὰ>ν δαιμονιζομένῳ εἴπῃς τὸ ὄνομα προσάγων τῇ ῥινὶ αὐτοῦ θεῖον καὶ ἄσφαλτον, εὐθέως λαλήσει, καὶ ἀπελεύσεται. ἐὰν εἴπῃς ἐπὶ ἐρυσιπέλατος, χρίσας αὐτὸ κορκοδείλου ἀφοδεύματι, εὐθέως ἀπαλλαγήσεται. ἐὰν εἴπῃς ἐπὶ σπάσματος ἢ συντρίμ<μ>ατος τὸ ὄνομα γʹ, καταχρίσας γῆν μετὰ ὄξους, ἀπαλλάξεις. ἐὰν ἐπείπῃς ἐπὶ παντὸς πετεινοῦ εἰς τὸ ὠτίον, τελευτήσει.*

*ἐὰν ἴδῃς ἀσπίδα καὶ θέλῃς αὐτὴν στῆσαι, λέγε στρεφόμενος ὅτι ‘στῆθι.’ λέγεται τὰ ὀνόματα, καὶ στήσεται. θυμοκάτοχον· πρὸς βασιλέα ἢ μεγιστᾶνα εἴσαγε, τὰς χεῖρας ἐντὸς ἔχων λέγε τὸ ὄνομα <τ>ὸ δίσκου, βαλὼν ἅμμα τοῦ παλλίου σου ἢ τοῦ ἐπικαρσίου, καὶ θαυμάσεις.*

*ἐὰν πρὸς λύσιν φαρμάκων· εἰς ἱερατικὸν κόλλημα γράψας τὸ ὄνομα φόρει. Ἡλίου δεῖξις. λέγε πρὸς ἀνατολάς· ‘ἐγώ εἰμι ὁ ἐπὶ τῶν δύο χερουβείν, ἀνὰ μέσον τῶν δύο φύσεων, οὐρανοῦ καὶ γῆς, ἡλίου τε καὶ σελήνης, φωτὸς καὶ σκότους, νυκτὸς καὶ ἡμέρας, ποταμῶν καὶ θαλάσσης· φάνηθί μοι, ὁ ἀρχάγγελος τῶν ὑπὸ τὸν κόσμον, αὐθέντα Ἥλιε, ὁ ὑπ’ αὐτὸν τὸν ἕνα καὶ μόνον τεταγμένος· προστάσσει σοι ὁ ἀεὶ καὶ μόνος.’ λέγε τὸ ὄνομα. ἐὰν δὲ σκυθρωπὸς φανῇ, λέγε· ‘δὸς ἡμέραν, δὸς ὥραν, δὸς μῆνα, δὸς ἐνιαυτόν, κύριε τῆς ζωᾶς.’ λέγε τὸ ὄνομα. ἐὰν θέλῃς ὄφιν ἀποκτεῖναι, λέγε· ‘στῆθι, ὅτι σὺ εἶ ὁ Ἄφυφις’ καὶ λαβὼν βάϊν χλωρὰν καὶ τῆς καρδίας κρατήσας σχίσον εἰς δύο ἐπιλέγων τὸ ὄνομα ζʹ, καὶ εὐθέως σχισθήσεται*

ἢ ῥαγήσεται. πρόγνωσις ἥδε τῇ προειρημένῃ πράξει <γίνεται, τῇ διὰ τοῦ νίτρου, καὶ ὡς θεῷ διαλαλήσει σοι· σοῦ γὰρ παρόντος πολλάκις ἐποίησα τὴν πρᾶξιν. ἀβλεψίας δὲ οὕτως· ‘δεῦρό μοι, τὸ πρωτοφαὲς σκότος, καὶ κρύψον με προστάγματι τοῦ ὄντος ἐν οὐρανῷ αὐτογενέτορος, τὸν δεῖνα.’ λέγε τὸ ὄνομα.

[ἄλλως· ‘σὲ μόνον ἐπικαλοῦμαι, τὸν μόνον ἐν κόσμῳ διατά-]ξαντα θεοῖς καὶ ἀνθρώποις, τὸν ἑαυτὸν ἀλλάξαντα μορφαῖς ἁγίαις καὶ ἐκ μὴ ὄντων εἶναι ποιήσαντα καὶ ἐξ ὄντων μὴ εἶναι, Θαΰθ ἅγιος, οὗ οὐδεὶς ὑποφέρει θεῶν τὴν ἀληθινὴν ὄψιν ἰδεῖν τοῦ προσώπου. ποίησόν με γενέσθαι ἐν ὄμμασι πάντων κτισμάτων λύκον, κύνα, λέοντα, πῦρ, δένδρον, γῦπα, τεῖχος, ὕδωρ (ἢ ὃ θέλεις), ὅτι δυνατὸς εἶ.’ λέγε τὸ ὄνομα. ἔγερσις σώματος νεκροῦ· ‘ὁρκίζω σε, πνεῦμα ἐν ἀέρι φοιτώμενον, εἴσελθε, ἐνπνευμάτωσον, δυνάμωσον, διαέγειρον τῇ δυνάμει τοῦ αἰωνίου θεοῦ τόδε τὸ σῶμα, καὶ περιπατείτω ἐπὶ τόνδε τὸν τόπον, ὅτι ἐγώ εἰμι ὁ ποιῶν τῇ δυνάμει τοῦ <Θ>αΰθ, ἁγίου θεοῦ.’ λέγε τὸ ὄνομα. ἐὰν θέλῃς ἐπάνω κορκοδείλου διαβαίνειν, καθίσας λέγε· ‘ἄκουέ μου, ὁ ἐν τῷ ὑγρῷ τὴν διατριβὴν ποιούμενος· ἐγώ εἰμι ὁ ἐν οὐρανῷ σχολὴν ἔχων φοιτώμενός τε ἐν ὕδατι καὶ ἐν πυρὶ καὶ ἐν ἀέρι καὶ γῇ. ἀπόδος χαριστήριον τῆς ἡμέρας ἐκείνης, ὅτε σε ἐποίησα καὶ ᾐτήσω με τὴν αἰτησίαν. διαπεράσεις <εἰς> τὸ πέρα, ὅτι ἐγώ εἰμί τις.’ λέγε τὸ ὄνομα. Δεσμόλυτον. λέγε· ‘κλῦθί μοι, ὁ Χριστός, ἐν βασάνοις, βοήθησον ἐν ἀνάγκαις, ἐλ[ε]ήμων ἐν ὥραις βιαίοις, πολὺ δυνάμενος ἐν κόσμῳ, ὁ κτίσας τὴν Ἀνάγκη<ν> καὶ Τιμωρίαν καὶ τὴν Βάσανον.’ ιβʹ ἡμ(έρας) συρίσας τρὶς ὀκτάκις λέγε τοῦ Ἡλίου τὸ ὄνομα ὅλον ἀπὸ τοῦ <Ἀ>χεβυκρωμ.

‘λυθήτω πᾶς δεσμός, πᾶσα βία, ῥαγήτω πᾶς σίδηρος, πᾶν σ<χ>οινίον ἢ πᾶς ἱμάς, πᾶν ἅμμ[α], πᾶσα ἅλυσις ἀνοιχθήτω, καὶ μηδείς με καταβιάσαιτο, ὅτι ἐγώ εἰμι’ (λέγε τ<ὸ> ὄνομα).

πῦρ σβέσαι. ‘ἄκουε, πῦρ, ἔργον ἔργων εὑρήματος θεοῦ, δόξα τοῦ ἐντίμου φωστῆρος, σβέσθητι, χιονίσθητι· αὐτὸς γάρ ἐστιν ὁ Αἰὼν ὁ ἐπιβαλόμενος πῦρ ὡς ἀμίαντον· ἀποσκεδασθήτω μου πᾶσα φλόξ, πᾶσα δύναμις οὐσίας, προστάγματι Αὐτοῦ ἀεὶ ὄντος. οὐ μή μου θίγῃς, πῦρ, οὐ μή μου λυμάνῃς σάρκα, ὅτι ἐγώ εἰμι’ (λέγε τὸ ὄνομα). πῦρ μεῖναι· ‘ἐξορκίζω σε, πῦρ, δαίμων ἔρωτος ἁγίου, τὸν ἀόρατον καὶ πολυμερῆ, τὸν ἕνα καὶ πανταχῆ, ἐνμεῖναι ἐν τῷ λύχνῳ τούτῳ ἐπὶ τόνδε τὸν χρόνον λαμπρυνόμενον καὶ μὴ μαραινόμενον, τῷ προστάγματι τοῦ δεῖνα.’ λέγε τὸ ὄνομα. ὀνειροπομπόν· ποίησον ἱπποπόταμον ἐκ κηροῦ πυρροῦ κοῖλον καὶ ἔνθες εἰς τὴν κοιλίαν αὐτοῦ τοῦ βιεβετνεησι καὶ χρυσὸν καὶ ἄργυρον καὶ τὸ καλούμενον βαλλαθὰ τὸ τῶν Ἰουδαίων καὶ στόλισον αὐτὸν λίνῳ καθαρῷ καὶ θὲς ἐπὶ θυρίδος καθαρᾶς καὶ λαβὼν χάρτην ἱερατικὸν γράψον εἰς αὐτὸν ζμυρνομέλανι καὶ αἷματι κυνοκεφάλου, ἃ βούλει πέμψαι, καὶ εἱλήσας εἰς ἐνλύχνιον καὶ ἐνλυχνιάσας λύχνον καθαρὸν καινὸν ἐπίθες ἐπὶ τὸν λύχνον

*τὸν πόδα ἱπποποταμίου καὶ λέγε τὸ ὄνομα, καὶ πέμπει.*
*φίλτρον πότιμον· λαβὼν σφηκαλέοντας τοὺς ἐν τῇ ἀράχνῃ,*
*λειώσας ἐπὶ πότον δὸς πεῖν. ἐὰν θέλῃς γυναῖκας οὐ μὴ σχε-* (320)
*θῆναι ὑπὸ ἄλλου ἀνδρός, λαβὼν γῆν πλάσον κορκόδειλον*
*προσμείξας αὐτῷ μέλαν καὶ ζμύρναν καὶ θὲς εἰς <σ>ορίον μολιβοῦν*
*καὶ ἐπίγραφε τὸ μέγα ὄνομα καὶ τὸ τῆς γυναικὸς καὶ ὅτι· ʽμὴ συν-*
*γενέσθω ἡ δεῖνα ἑτέρῳ ἀνδρὶ πλὴν ἐμοῦ, τοῦ δεῖνα.ʼ ἔστι δὲ τὸ ὄνομα τὸ ἐπι-*
*γ<ρ>αφόμενον εἰς τοὺς πόδας τοῦ ζῳδίου· ʽβιβιου ουηρ αψαβαρα* (325)
*κασοννακα νεσεβαχ σφη σφη χφουρις.ʼ*
*ἄνοιξις διὰ τοῦ ὀνόματος· ʽἄνοιγε, ἄνοιγε, τὰ δʹ μέρη τοῦ κόσμου, ὅτι*
*ὁ κύριος τῆς οἰκουμένης ἐκπορεύεται. χαίρουσιν ἀρχάγγελοι*
*δεκάνων, ἀγγέλων· Αὐτὸς γὰρ ὁ Αἰὼν Αἰῶνος, ὁ μόνος καὶ*
*ὑπερέχων, ἀθεώρητος διαπορεύεται τὸν τόπον. ἀνοίγου,* (330)
*θύρα, ἄκουε, μοχλέ, εἰς δύο γενοῦ, κλειδών, διὰ τ(ὸ) ὄν(ομα) Ἀϊα αϊνρυχαθ, ἀνάβαλε, γῆ, δεσπότῃ πάντα, ὅσα*
*ἔχεις ἐν σε-* (331)
*αυτῇ· Αὐτὸς γάρ ἐστιν ὁ λαιλαφέτης καὶ χανοῦ-*
*χος, πυρὸς κρατύντωρ. ἄνοιξον· λέγει σοι Ἀχεβυκρωμʼ (ὀκτάκις Ἡλίου ὄνομα).*
*ἄλλως ὁ λόγος πρὸς τὸν Ἥλιον· ʽἐγώ εἰμι ὁ ἐπὶ τῶν δύο χερουβείν,*
*ἀνὰ μέσον τοῦ κόσμου, οὐρανοῦ καὶ γῆς, φωτὸς καὶ σκότους, νυκτὸς καὶ ἡμέρας,* (335)
*ποταμῶν καὶ θαλάσσης, φάνητί μοι, ἀρχάγγελε τοῦ*
*θεοῦ, ὁ ὑπʼ αὐτὸν τὸν ἕνα καὶ μόνον τεταγμένος.ʼ τούτῳ δὲ*
*τῷ λόγῳ ποίει πρὸς τὸν Ἥλιον χαριτήσια, ἀγωγάς, ὀνειροπομπά,*
*ὀνειραιτητά, Ἡλίου δεῖξιν, ἐπιτευκτικά, νικητικά, καὶ πά-*
*ντα ἁπλῶς.* (340)
*ἀπέχεις τὴν ἱεράν, ὦ τέκνον, καὶ μακάριδα Μονάδα*
*βίβλον, ἣν οὐδεὶς ἴσχυσε μεθερμηνεῦσαι ἢ πρᾶξαι.*
*ἔρρωσο, τέκνον. Μοϋσέως ἱερὰ βί<β>λος*
*ἀπόκρυφος ἐπικαλουμένη ὀγδόη ἢ ἁγία:*